ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ

# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
## ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Δ/νσις : Ἰωάννου Γενναδίου 14 – 115 21, Ἀθῆναι
Τηλ. 210-72.72.204, Fax 210-72.72.210, e-mail: contact@ecclesia.gr

Πρωτ. 5113
Ἀριθμ. Ἀθήνησι 6η Νοεμβρίου 2019
Διεκπ. 2343

# ΕΓΚΥΚΛΙΟΣ 3009

Πρός
τόν εὐλαβέστατον Ἱερόν Κλῆρον καί τό Χριστεπώνυμον Πλήρωμα τῆς Ἱερᾶς Μητροπόλεως Καλαβρύτων καί Αἰγιαλείας

Εὐλαβέστατοι Ἱερεῖς καί λοιποί ἁπαξάπαντες εὐλογημένοι Χριστιανοί, οἱ κατά τήν Ἱεράν Μητρόπολιν Καλαβρύτων καί Αἰγιαλείας, χάρις εἴη ὑμῖν ἀπό Θεοῦ Κυρίου Παντοκράτορος.

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, διά τήν ἄπειρον Αὐτοῦ φιλανθρωπίαν ἐνανθρωπήσας πρός σωτηρίαν ἡμῶν, καθίδρυσε τήν ἁγίαν Ἐκκλησίαν πρός τόν σκοπόν τῆς ἑνί ἑκάστῳ τῶν πιστῶν μεταδόσεως τῆς σωτηρίας διά τῆς διδασκαλίας, τοῦ ἁγιασμοῦ, καί τῆς καθοδηγήσεως αὐτῶν, ὑπό τῶν Ἀποστόλων καί τῶν διαδόχων αὐτῶν Ποιμένων Αὐτῆς. Τούτους δέ καί συνεχιστάς ὥρισε τοῦ ἀπολυτρωτικοῦ ἔργου Αὐτοῦ κατά τούς σωτηρίους λόγους Αὐτοῦ: «*Καθώς ἀπέσταλκέ με ὁ Πατήρ κἀγώ πέμπω ὑμᾶς*» (Ἰωάν. κ΄, 21). «*Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει καί ὁ ἀθετῶν ὑμᾶς ἐμέ ἀθετεῖ, ὁ δέ ἀθετῶν ἐμέ ἀθετεῖ τόν ἀποστείλαντά με*» (Λουκ. ι΄, 16). «*Ὁ δεχόμενος ὑμᾶς ἐμέ δέχεται, καί ὁ ἐμέ δεχόμενος δέχεται τόν ἀποστείλαντά με*» (Ἰωάν. ιγ΄, 20).

Κατά τήν διδασκαλίαν δέ τῆς Ἐκκλησίας ἡμῶν, ὁ ἐνανθρωπήσας Υἱός καί Λόγος τοῦ Θεοῦ κέκτηται τό τρισσόν ἀξίωμα, συντιθέμενον ὑπό τοῦ Ἀρχιερατικοῦ, Προφητικοῦ καί Βασιλικοῦ. Τοῦτο μετέδωκεν εἰς τούς Ἁγίους Μαθητάς Αὐτοῦ καί Ἀποστόλους, ὅπερ καί μεταδίδεται διά τοῦ Ἁγίου Πνεύματος ἐν τῷ Μυστηρίῳ τῆς Ἱερωσύνης εἰς τούς Διαδόχους αὐτῶν, ἤτοι τούς Ἐπισκόπους τῆς Ἐκκλησίας Αὐτοῦ. Διό οὐ δύναται ἵνα νοηθῇ ἡ

Ἐκκλησία ἄνευ αὐτῶν. «*Χωρίς τούτων Ἐκκλησία οὐ καλεῖται*», ἔγραφεν ὁ ἀποστολικός πατήρ Ἰγνάτιος ὁ Θεοφόρος. Οὔτε σῴζεται ὁ πιστός ἐκτός Ἐκκλησίας μένων, ἀλλ' οὔτε καί ὠφελεῖται ἐν αὐτῇ ἄνευ τῶν Οἰκονόμων τῶν Θείων Μυστηρίων, ἤτοι τῶν Ποιμένων καί Διδασκάλων αὐτῆς. «*Καί αὐτός ἔδωκε τούς μέν Ἀποστόλους, τούς δέ Προφήτας, τούς δέ Εὐαγγελιστάς, τούς δέ Ποιμένας καί Διδασκάλους, πρός τόν καταρτισμόν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομήν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσωμεν οἱ πάντες εἰς τήν ἑνότητα τῆς πίστεως καί τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ*» (Ἐφεσ. δ΄, 11 - 13). Ἁπάντων τῶν χαρισματούχων τούτων τῆς Ἐκκλησίας προεξάρχει ὁ Ἐπίσκοπος, ὁ εἰς τόπον καί τύπον Χριστοῦ εὑρισκόμενος, ὁ ἐγκεχειρισμένος τό ἀνώτατον ἀξίωμα. Πρόδηλος οὖν καθίσταται ἡ ὑπερτάτη σημασία τοῦ Ἐπισκοπικοῦ Ἀξιώματος ἐν τῇ Ὀρθοδόξῳ Ἐκκλησίᾳ καί ἡ ἀναγκαιότης αὐτοῦ.

Ὅθεν, ἡ Ἱερά Σύνοδος τῆς Ἱεραρχίας τῆς Ἀποστολικῆς Ἐκκλησίας τῆς Ἑλλάδος, ἐν τῇ μερίμνῃ καί στοργῇ Αὐτῆς ὑπέρ τοῦ ποιμνίου τῆς Θεοσώστου Ἱερᾶς Μητροπόλεως Καλαβρύτων καί Αἰγιαλείας, συνελθοῦσα ἐν τῷ Μεγάλῳ Συνοδικῷ τῆς Ἐκκλησίας τῆς Ἑλλάδος τῇ 11η τοῦ μηνός Ὀκτωβρίου τοῦ σωτηρίου ἔτους 2019, ψήφοις κανονικαῖς ἐξελέξατο καί κατέστησεν Μητροπολίτην Καλαβρύτων καί Αἰγιαλείας, εἰς διαδοχήν τοῦ παραιτηθέντος διά λόγους γήρατος Σεβασμιωτάτου Μητροπολίτου κ. Ἀμβροσίου, τόν Πανοσιολογιώτατον Ἀρχιμανδρίτην κύριον Ἱερώνυμον Κάρμαν, ἄχρι τοῦδε Κληρικόν τῆς Ἱερᾶς Μητροπόλεως Καλαβρύτων καί Αἰγιαλείας, Κληρικόν δεδοκιμασμένον καί ζηλωτήν, δόκιμον ἐργάτην τοῦ Εὐαγγελίου, κήρυκα τοῦ Θείου Λόγου καί ἱκανήν Ἐκκλησιαστικήν πεῖραν κεκτημένον, πρός διεξαγωγήν τοῦ μεγάλου καί ὑψηλοῦ ἔργου τῆς ἀρχιερατικῆς διακονίας, τελεσθέντος αὐθημερόν τοῦ Μικροῦ καί τοῦ Μεγάλου Μηνύματος.

Οὗτος δέ ὁ εὐλαβέστατος Κληρικός, τῇ Θείᾳ Χάριτι, ἐχειροτονήθη Ἐπίσκοπος καί Μητροπολίτης τῆς Ἁγιωτάτης Μητροπόλεως Καλαβρύτων καί Αἰγιαλείας, τῇ 13η μηνός Ὀκτωβρίου 2019, ἐν τῷ Καθεδρικῷ Ἱερῷ Ναῷ τοῦ Εὐαγγελισμοῦ τῆς Θεοτόκου τῶν Ἀθηνῶν, ὑπό τοῦ Μακαριωτάτου Ἀρχιεπισκόπου Ἀθηνῶν καί πάσης Ἑλλάδος κυρίου Ἱερωνύμου, τῇ συμμετοχῇ πολλῶν Σεβασμιωτάτων Μητροπολιτῶν τῆς Ἐκκλησίας ἡμῶν.

Οὕτως οὖν ὁ Σεβασμιώτατος Μητροπολίτης Καλαβρύτων καί Αἰγιαλείας κύριος Ἱερώνυμος ἀνεδείχθη τῇ Χάριτι τοῦ Παναγίου καί Τελεταρχικοῦ Πνεύματος γνήσιος, κανονικός, καί νόμιμος Ποιμενάρχης καί προστάτης πνευματικός τῆς Ἱερᾶς Μητροπόλεως Καλαβρύτων καί Αἰγιαλείας, ἔχων τό δικαίωμα τοῦ εὐλογεῖν καί ἁγιάζειν ἀρχιερατικῶς πάντας τούς Χριστιανούς, καί πάντα τά ἀρχιερατικά ἐπιτελεῖν, μετά τῆς τοῦ Ἱεροῦ Συνθρόνου ἐγκαθιδρύσεως, κρίνειν τε καί ἀνακρίνειν πᾶσαν ἐκκλησιαστικήν ὑπόθεσιν κατά τούς Ἱερούς Κανόνας καί τούς Νόμους.

Ταῦτα ἀγγέλλουσα γηθοσύνως σήμερον πᾶσιν ὑμῖν ἡ Διαρκής Ἱερά Σύνοδος τῆς Ἐκκλησίας τῆς Ἑλλάδος, προτρέπεται καί ἐντέλλεται, ἵνα, ὑποδεξάμενοι τόν Σεβασμιώτατον Μητροπολίτην Καλαβρύτων καί Αἰγιαλείας κύριον Ἱερώνυμον ὡς κανονικόν καί νόμιμον Ἐπίσκοπον ὑμῶν, πείθησθε καί ὑπείκητε αὐτῷ προθύμως, κατά τό παράγγελμα τῆς Ἁγίας Γραφῆς, «*Πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καί ὑπείκετε, αὐτοί γάρ ἀγρυπνοῦσιν ὑπέρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες*» (Ἑβρ. ιγ΄, 17), μνημονεύητε δέ οἱ Κληρικοί τοῦ ὀνόματος αὐτοῦ ἐν πάσαις ταῖς Θείαις Λειτουργίαις καί Ἱεραῖς Ἀκολουθίαις καί Δεήσεσι κατά τήν Ἐκκλησιαστικήν Τάξιν, ἀπονέμητε δ' αὐτῷ πάντες ὡς πνευματικῷ πατρί ὑμῶν πᾶσαν τιμήν.

«*Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καί ἡ ἀγάπη τοῦ Θεοῦ καί Πατρός καί ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος εἴη μετά πάντων ὑμῶν. Ἀμήν*». (Β΄ Κορ. ιγ΄, 13).

Ἀθήνῃσι 6η Νοεμβρίου τοῦ δισχιλιοστοῦ δεκάτου ἐνάτου ἔτους.

† Ὁ Ἀθηνῶν **Ι Ε Ρ Ω Ν Υ Μ Ο Σ**, Πρόεδρος
† Ὁ Θεσσαλονίκης Ἄνθιμος
† Ὁ Παραμυθίας, Φιλιατῶν καί Γηρομερίου Τίτος
† Ὁ Μηθύμνης Χρυσόστομος
† Ὁ Τριφυλίας καί Ὀλυμπίας Χρυσόστομος
† Ὁ Μεσσηνίας Χρυσόστομος
† Ὁ Λευκάδος καί Ἰθάκης Θεόφιλος
† Ὁ Θηβῶν καί Λεβαδείας Γεώργιος
† Ὁ Παροναξίας Καλλίνικος
† Ὁ Φωκίδος Θεόκτιστος
† Ὁ Νέας Κρήνης καί Καλαμαριᾶς Ἰουστῖνος
† Ὁ Φιλίππων, Νεαπόλεως καί Θάσου Στέφανος
† Ὁ Σισανίου καί Σιατίστης Ἀθανάσιος

Ὁ Ἀρχιγραμματεύς
† Ὁ Ὠρεῶν Φιλόθεος

Ἀκριβές Ἀντίγραφον
Ὁ Ἀρχιγραμματεύς

† Ὁ Ὠρεῶν Φιλόθεος